**19 ΜΑΡΤΙΟΥ**, **Τετάρτη τῆς Γ΄ Ἑβδομάδος**, **Ἑσπερινὸς καὶ Θεία Λειτουργία τῶν Προηγιασμένων Δώρων** …**ὁ α΄ χορός**, ***Ἦχος δ΄***

***Στίχ.*** **Ἐ**ξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. ***Στιχηρὸν ἰδιόμελον***

**Ἀ**σώτως διασπείρας, τὸν πατρικόν μου πλοῦτον, ἔρημος γέγονα, ἐν τῇ χώρᾳ οἰκήσας, τῶν πονηρῶν πολιτῶν, καὶ τῇ ἀλογίᾳ ὡμοιώθην ἀνοήτοις κτήνεσι καὶ πάσης γεγύμνωμαι θείας χάριτος, διὸ ἐπιστρέψας βοῶ σοι, τῷ εὐσπλάγχνῳ καὶ οἰκτίρμονι Πατρί΄ Ἥμαρτον, δέξαι με μετανοοῦντα ὁ Θεός, καὶ ἐλέησόν με.

***ὁ β΄ χορός***, ***Στίχ.*** **Ἐ**μὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι. **Ἀ**σώτως διασπείρας, τὸν πατρικόν μου πλοῦτον…

***ὁ α΄ χορός***, ***Στίχ.*** **Ἐ**κ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε εἰσάκουσον τῆς φωνῆς μου. ***Στιχηρὰ Μαρτυρικὰ***

**Ἱ**ερεῖα ἔμψυχα, ὁλοκαυτώματα λογικά, Μάρτυρες Κυρίου, θύματα τέλεια Θεοῦ, Θεὸν γινώσκοντα, καὶ Θεῷ γινωσκόμενα, πρόβατα, ὧν ἡ μάνδρα λύκοις ἀνεπίβατος, πρεσβεύσατε, καὶ ἡμᾶς συμποιμανθῆναι ὑμῖν, ἐπὶ ὕδατος ἀναπαύσεως.

***ὁ β΄ χορός***, ***Στίχ.*** **Γ**ενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. ***Στιχηρὰ Προσόμοια Ποίημα Ἰωσὴφ***, ***Ἦχος πλ. β΄ Ὅλην ἀποθέμενοι***

**Ἡ**λίου αὐγάσματα, τοῦ νοητοῦ δεδειγμένοι, θεόπται Ἀπόστολοι, φωτισμὸν αἰτήσατε, ταῖς ψυχαῖς ἡμῶν, καὶ παθῶν ῥύσασθε, ἀχλυώδους σκότους, καὶ ἡμέραν τὴν σωτήριον, ἰδεῖν πρεσβεύσατε, διὰ πρεσβειῶν καὶ δεήσεων, καρδίας ἐκκαθάραντες, ἃς ὁ πονηρὸς ἐτραυμάτισεν΄ ὅπως ἡμᾶς πίστει, σωζόμενοι γεραίρωμεν ἀεί, τοὺς τῷ πανσόφῳ κηρύγματι, κόσμον διασώσαντας.

***ὁ α΄ χορός***, ***Στίχ.*** **Ἐ**ὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

**Ε**ἰς χώραν ὁ Ἄσωτος, ἀποδημήσας κακίας, κακῶς ἐδαπάνησα, ὃν περ Πάτερ εὔσπλαγχνε, πλοῦτον δέδωκας, καὶ λιμῷ τήκομαι, ἀγαθῶν πράξεων, καὶ αἰσχύνην παραβάσεως, ἰδοὺ ἐνδέδυμαι, χάριτος ἐνθέου γυμνούμενος, καὶ κράζω σοι τό, Ἥμαρτον΄ οἶδα γὰρ τὴν σὴν ἀγαθότητα, δέξαι με ὡς ἕνα, οἰκτίρμον τῶν μισθίων σου Χριστέ, τῶν Ἀποστόλων δεήσεσι, τῶν ἠγαπηκότων σε.

***ὁ β΄ χορός***, ***Στίχ.*** **Ἕ**νεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον. ***Ἕτερον, Προσόμοιον Ποίημα Θεοδώρου***, ***Ἦχος ὁ αὐτὸς Ἐκ δεξιῶν τοῦ Σωτῆρος***

**Ἀ**πόστολοι τοῦ Σωτῆρος, φωστῆρες Οἰκουμένης, καὶ εὐεργέται καὶ σῶσται, οἱ Θεοῦ τῆς δόξης, ὡς οὐρανοὶ διηγήτορες, καὶ πεποικιλμένοι τοῖς ἄστροις τῶν θαυμάτων, καὶ τοῖς τέρασι τῶν ἰάσεων, ἐκτενῶς ὑπὲρ ἡμῶν, τὰς ἱκετηρίας Κυρίῳ προσάγετε, εἰς ὀσμὴν ἄχραντον, τὰς εὐχὰς δεχθῆναι ἡμῶν, καὶ ἀξιωθῆναι τὸν ζωηφόρον Σταυρόν καὶ προσπτύξασθαι, καὶ βλέψαι φόβῳ ἅπαντας, αὐτοῦ τῇ προσκυνήσει, κατάπεμψον ἡμῖν τὰ ἐλέη σου, Σωτὴρ ὡς φιλάνθρωπος.

***(20-3), Στίχ.*** **Ἀ**πὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

***Στιχηρὰ Στιχηρὰ τῶν Ὁσίων Πατέρων, Ἦχος δ΄, Ὡς γενναῖον ἐν Μάρτυσιν***

*Ἐφετῶν τὸ ἀκρότατον, ὁλικῶς ἀγαπήσαντες, τὰ τοῦ βίου Ὅσιοι, ὥσπερ σκύβαλα, τερπνὰ ἡγήσασθε ἅπαντα, καὶ μόνα τὰ μένοντα, ἀγρυπνίᾳ καὶ εὐχῇ, νιφετῷ τε καὶ καύσωνι, ἐποθήσατε, σπηλοδίαιτοι ἅμα γεγονότες, συμπολῖται τῶν Ἀγγέλων, ἀναδειχθέντες ἐν χάριτι.*

***ὁ β΄ χορός***, ***Στίχ.*** **Ὅ**τι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις' καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. *Ἐφετῶν τὸ ἀκρότατον,…*

***ὁ α΄ χορός***, ***Στίχ.*** **Α**ἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. ***Ἦχος δ΄***

*Καὶ ῥοπάλοις τυπτόμενοι, καὶ τοῖς λίθοις βαλλόμενοι, καὶ πυγμαῖς κοπτόμενοι τὴν ὁμόνοιαν, οὐ διελύσατε Μάρτυρες, ἀγάπῃ συνδούμενοι, καὶ στοργῇ ἀδελφικῇ, ἀλλ' ὑφ' ἓν θανατούμενοι, καὶ τεμνόμενοι, μεληδὸν Ἀθλοφόροι τῇ τραπέζῃ, προσηνέχθητε τῇ θείᾳ, ὡς ἱερεῖα ἀμώμητα.*

***ὁ β΄ χορός***, ***Στίχ.*** **Ὅ**τι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα. ***Ἦχος δ΄***

*Καὶ πνιγμῷ συγκλειόμενοι, καὶ πυρὶ δαπανώμενοι, τὰς ψυχὰς παρέθεσθε ὡς ἀμώμητα, Μάρτυρες ἔνδοξοι θύματα, χειρὶ τοῦ Παντάνακτος, καὶ συνήφθητε χοροῖς, ἀσωμάτων Δυνάμεων, αἰωνίζουσαν, κληρωσάμενοι δόξαν, ἧς μεθέξειν, τοὺς ἡμᾶς ἀνευφημοῦντας, ἀδιαλείπτως πρεσβεύσατε.*

***ὁ α΄ χορός***, **Δόξα Πατρί…** ***Ἦχος ὁ αὐτός*** , ***ὁ β΄ χορός***, **Καὶ νῦν…*Θεοτοκίον ὅμοιον*** , ***ὁ α΄ χορός***

*Μετανοίας τὸ ἄριστον, καὶ σωτήριον φάρμακον, ἡ Θεὸν κυήσασα τὸν Σωτῆρά μου, καὶ τῶν δακρύων τὰ ῥεύματα, καὶ ὥρας τὴν ἔννοιαν, τῆς φρικτῆς καὶ φοβερᾶς, ἀδεκάστου τε κρίσεως, σὺ μοι δώρησαι, καὶ φυγεῖν ταῖς εὐχαῖς σου, ὦ Παρθένε, τῶν κολάσεων τὸν τρόμον καὶ θείας* ***τεύξασθαι χάριτος.***

***Ψαλλομένου τοῦ Δοξαστικοῦ, ἀνοίγονται τὰ Βημόθυρα καὶ ἐξέρχονται τῆς βορείου Πύλης ὁ Διάκονος καὶ ὁ Ἱερεύς (ἢ μόνος ὁ Ἱερεύς), μετὰ θυμιατοῦ, καὶ προηγουμένου λαμπαδούχου γίνεται ἡ μικρὰ Εἴσοδος. ΕἴσοδοςΔιάκονος: Σοφία Ὀρθοί !Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης ( χῦμα )***

**Φ**ῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς΄ Διὸ ὁ κόσμος σὲ δοξάζει.

***Διάκονος***: **Ἑσπέρας. Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης**: **<u>Προκείμενον Ἦχος δ΄ Ψαλμὸς να'</u>**, **Ἤ**λπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα. ***Στίχ.*** **Τ**ί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ***Διάκονος***: **Σοφία. Γενέσεως τὸ Ἀνάγνωσμα**, ***Διάκονος***: **Πρόσχωμεν.** *(Κεφ. Ζ', 6-9)*

**Ν**ῶε ἦν ἐτῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς. Εἰσῆλθε δὲ Νῶε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν κιβωτόν, διὰ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ. Καὶ ἀπὸ τῶν πετεινῶν τῶν καθαρῶν, καὶ ἀπὸ τῶν πετεινῶν τῶν μὴ καθαρῶν, καὶ ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν, καὶ ἀπὸ τῶν θηρίων, καὶ ἀπὸ πάντων τῶν ἑρπόντων ἐπὶ τῆς γῆς, δύο δύο εἰσῆλθον πρὸς Νῶε εἰς τὴν κιβωτόν, ἄρσεν καὶ θῆλυ, καθὰ ἐνετείλατο ὁ Θεὸς τῷ Νῶε.

**<u>Προκείμενον Ἦχος δ΄ Ψαλμὸς νβ΄</u>**, **Ἐ**ν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ. ***Στίχ.*** **Ε**ἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός.

***ὁ Ἀναγνώστης:*** Κέλευσον! ***Ὁ ἱερεὺς κρατῶν λαμπάδα ἀνημμένην καὶ θυμιατὸν ἐξηρτημένον, ἵσταται ἔμπροσθεν τῆς Ἁγίας Τραπέζης καὶ σφραγίζων διὰ τῆς λαμπάδος σταυροειδῶς, ἐκφωνεῖ: Σοφία, Ὀρθοί. Εἶτα ὁ Ἱερεύς, στρεφόμενος πρὸς τὸν λαὸν καὶ ἱστάμενος ἐπὶ τῆς Ὡραίας Πύλης, ἐκφωνεῖ:+ Φῶς Χριστοῦ φαίνει πᾶσι. Καὶ εὐλογῶν διὰ τῆς λαμπάδος σταυροειδῶς, ἐπανέρχεται ἐν τῷ Ἱερῷ. Εἶτα ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:***

**<u>Παροιμιῶν τὸ Ἀνάγνωσμα,</u>**

***Διάκονος***: **Σοφία. Πρόσχωμεν**, *(Κεφ. Θ', 12-18)*

**Υ**ἱέ, ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον΄ ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἂν ἀντλήσεις τὰ κακά. Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμαίνει ἀνέμους, ὁ δ' αὐτὸς διώξεται ὄρνεα πετώμενα΄ ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται. Διαπορεύεται δὲ δι' ἀνύδρου ἐρήμου, καὶ γῆν διατεταγμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν. Γυνὴ ἄφρων καὶ θρασεῖα ἐνδεὴς ψωμοῦ γίνεται, ἣ οὐκ ἐπίσταται αἰσχύνην΄ ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου, ἐπὶ δίφρου ἐμφανῶς ἐν πλατείαις, προσκαλουμένη τοὺς παριόντας καὶ κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν. Ὃς ἐστιν ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρὸς με΄ καὶ τοῖς ἐνδεέσι φρονήσεως παρακελεύομαι λέγουσα΄ Ἄρτον κρυφίων ἡδέως ἅψασθε, καὶ ὕδατος κλοπῆς γλυκεροῦ πίετε. Ὁ δὲ οὐκ οἶδεν, ὅτι γηγενεῖς παρ' αὐτῇ ὄλλυνται, καὶ ἐπί πέταυρον Ἅιδου συναντᾷ. Ἀλλὰ ἀποπήδησον, μὴ χρονίσῃς ἐν τῷ τόπῳ αὐτῆς, μηδὲ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτήν΄ οὕτω γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον,

ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολὺν ζήσῃς χρόνον, **προστεθήσεται δέ σοι ἔτη ζωῆς.**
**(Κατευθυνθήτω...)**

**ΛΟΓΟΣ ΔΕΚΑΤΟΣ ΕΒΔΟΜΟΣ, Περὶ ἀναισθησίας** (Διὰ τὴν νέκρωσιν τῆς ψυχῆς καὶ διὰ τὸν θάνατον τοῦ νοῦ, πρὸ τοῦ σωματικοῦ θανάτου) Ματθ. 23,27 ͺΟὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας.ΑΝΑΙΣΘΗΣΙΑ καὶ στὰ σώματα καὶ στὶς ψυχὲς εἶναι ἀπονεκρωμένη αἴσθησις, ἡ ὁποία ἀπὸ χρονία ἀσθένεια καὶ ἀμέλεια κατέληξε νὰ ἀναισθητοποιηθῆ.2. Ἡ ἀναλγησία εἶναι πολυκαιρισμένη καὶ μονιμοποιημένη ἀμέλεια, ναρκωμένη σκέψις, γέννημα τῶν «προλήψεων». Εἶναι παγίδα τῆς πνευματικῆς προθυμίας, βρόχος τῆς ἀνδρείας, ἄγνοια τῆς κατανύξεως, θύρα τῆς ἀπογνώσεως. Εἶναι μητέρα τῆς λήθης, (λησμοσύνης τοῦ Θεοῦ καὶ τῶν ἐντολῶν του), καὶ ἐν συνεχείᾳ θυγατέρα τῆς ἰδικῆς της θυγατέρας *( Ἀπὸ τὴν ἀναλγησία δηλαδὴ γεννᾶται ἡ λήθη καὶ ἀπὸ τὴν λήθη γεννᾶται πάλι ἡ ἀναλγησία).* Εἶναι ἀκόμη ἀπόκρουσις ἀπὸ τὴν ψυχὴ τοῦ φόβου τοῦ Θεοῦ.3. Ὁ ἀνάλγητος εἶναι ἄφρων φιλόσοφος. Εἶναι αὐτὸς ποὺ ἐξηγεῖ τὸ θέλημα τοῦ Θεοῦ στοὺς ἄλλους πρὸς ἰδική του κατάκρισι. Αὐτὸς ποὺ φιλολογεῖ εἰς βάρος τοῦ ἑαυτοῦ του. Αὐτὸς ποὺ εἶναι τυφλός, καὶ διδάσκει τοὺς ἄλλους πῶς νὰ βλέπουν. Ὁμιλεῖ στοὺς ἄλλους γιὰ τὴν θεραπεία τοῦ τραύματός των, ἐνῷ συνεχῶς ἐρεθίζει καὶ χειροτερεύει τὸ ἰδικό του. Ὁμιλεῖ ἐναντίον τοῦ πάθους, καὶ συνεχῶς τρέφεται μὲ ὅσα τὸ προκαλοῦν. Ἐναντίον τοῦ πάθους προσεύχεται, καὶ ἀμέσως σπεύδει νὰ τὸ ἱκανοποιήσῃ. Ἱκανοποιώντας το ἐξοργίζεται κατὰ τοῦ ἑαυτοῦ του καὶ δὲν ἐντρέπεται τὰ λόγια του ὁ ταλαίπωρος.«Ἄσχημα κάνω» φωνάζει, καὶ μὲ εὐχαρίστησι ἐπιμένει στὴν ἁμαρτία. Τὸ στόμα προσεύχεται ἐναντίον τοῦ πάθους, ἀλλὰ τὸ σῶμα ὑπὲρ αὐτοῦ ἀγωνίζεται. Περὶ θανάτου φιλοσοφεῖ, καὶ συμπεριφέρεται σὰν ἀθάνατος. Γιὰ τὸν χωρισμὸ στενάζει, καὶ σὰν νὰ εἶναι αἰώνιος ἀμελεῖ καὶ νυστάζει. Ὁμιλεῖ γιὰ τὴν ἐγκράτεια, καὶ δίνει ἀγῶνες γιὰ τὴν γαστριμαργία. Μακαρίζει τὴν ὑπακοή, καὶ πρῶτος αὐτὸς παρακούει. Ἐπαινεῖ τοὺς ἀπροσπαθεῖς καὶ δὲν ἐντρέπεται νὰ μνησικακῇ καὶ νὰ φιλονεικῇ γιὰ ἕνα κουρέλι. Παρασυρόμενος στὴν ὀργὴ πικραίνεται, καὶ ἐν συνεχείᾳ ὀργίζεται πάλι ἐπειδὴ πικράθηκε. Καὶ ἔτσι προσθέτει ἧττα στὴν ἧττα χωρὶς νὰ τὸ αἰσθάνεται.

Διαβάζει γιὰ τὴν Κρίσι, καὶ ἀρχίζει νὰ χαμογελᾶ, Γιὰ τὴν κενοδοξία, καὶ κενοδοξεῖ τὴν ὥρα τῆς ἀναγνώσεως. Ἀποστηθίζει λόγους περὶ ἀγρυπνίας, καὶ παρευθὺς καταβυθίζεται στὸν ὕπνο. Ἐγκωμιάζει τὴν προσευχή, καὶ τὴν ἀποφεύγει σὰν μαστίγιο. Μόλις χορτάσει φαγητὸ μετανοεῖ, καὶ ὕστερα ἀπὸ λίγο τρώει καὶ χορταίνει περισσότερο. Μακαρίζει τὴν σιωπή, καὶ τὴν ἐγκωμιάζει μὲ πολυλογία. Διδάσκει περὶ πραότητος, καὶ πολλὲς φορὲς ὀργίζεται τὴν ὥρα τῆς διδασκαλίας. Μόλις συνῆλθε ἀπὸ τὸ σφάλμα του ἐστέναξε, καὶ ἀφοῦ κούνησε τὸ κεφάλι πάλι ὑπέκυψε στὸ πάθος του.

Κατηγορεῖ τὸ γέλιο καὶ χαμογελαστὸς διδάσκει περὶ πένθους. Κατηγορεῖ πολὺ ἐμπρὸς σὲ ἄλλους τὸν ἑαυτόν του ὡς κενόδοξο, καὶ μὲ τὴν κατηγορία αὐτὴ κοιτάζει νὰ προσπορίσῃ στὸν ἑαυτόν του δόξα. Μὲ ἐμπάθεια ἀτενίζει στὰ εὐειδῆ πρόσωπα, καὶ ὁμιλεῖ περὶ σωφροσύνης καὶ ἁγνότητος. Ἐπαινεῖ τοὺς ἐρημίτας καὶ τοὺς ἡσυχαστάς, ἐνῷ περνᾶ τὸν καιρό του στὸν κόσμο, καὶ δὲν ἀντιλαμβάνεται ὅτι ἔτσι ἐξευτελίζει τὸν ἑαυτό του. Ἐπαινεῖ καὶ δοξάζει τοὺς ἐλεήμονας, ἀλλὰ ὑβρίζει τοὺς πτωχούς. Πάντοτε γίνεται κατήγορος τοῦ ἑαυτοῦ του, ἀλλὰ νὰ συνέλθῃ δὲν θέλει, γιὰ νὰ μὴν εἰπῶ δὲν μπορεῖ.

4. Ἔτυχε νὰ ἰδῶ πολλοὺς τέτοιους ποὺ ἐδάκρυζαν ἀκούοντας περὶ θανάτου καὶ περὶ τῆς φοβερᾶς κρίσεως, καὶ μὲ τὰ δάκρυα ἀκόμη στὰ μάτια ἔτρεχαν γρήγορα στὴν τράπεζα. Καὶ ἐδοκίμασα θαυμασμό, πῶς κατώρθωσε ἡ δέσποινα αὐτὴ καὶ ὀζοθήκη, δηλαδὴ ἡ κοιλία, δυναμωμένη ἀπὸ τὴν πολλὴ ἀναλγησία, νὰ κατατροπώσῃ καὶ τὸ πένθος ἀκόμη.

5. Μὲ τὴν μικρὴ γνῶσι καὶ τὴν ἱκανότητα ποὺ διαθέτω, ἀπεγύμνωσα τὶς δολιότητες καὶ τὶς πληγὲς τῆς πετρώδους αὐτῆς καὶ ἀποκρήμνου καὶ μανιώδους καὶ ἀνοήτου ἀναισθησίας. Δὲν ἔχω διάθεσι νὰ φιλολογῶ περισσότερο εἰς βάρος της. Ὅποιος ὅμως δύναται μὲ τὴν βοήθεια τοῦ Κυρίου νὰ παρουσιάσῃ ἀπὸ πεῖρα καὶ δοκιμασία κατάλληλα φάρμακα γιὰ τὶς πληγὲς αὐτές, ἃς μὴ διστάσῃ νὰ τὸ κάνῃ. Ἐγὼ δὲν τὸ θεωρῶ ἐντροπὴ νὰ προβάλω ἀδυναμία, ἀφοῦ εἶμαι τόσο πολὺ αἰχμαλωτισμένος ἀπὸ αὐτήν. Ἀλλ᾽ οὔτε καὶ τὶς δολιότητές της καὶ τὰ τεχνάσματά της κατώρθωσα νὰ καταλάβω μόνος μου· παρὰ μόνο ἀφοῦ κάπου τὴν συνέλαβα καὶ τὴν ἐκράτησα διὰ τῆς βίας καὶ τὴν ἐβασάνισα καὶ τὴν ἐμαστίγωσα μὲ τὸ μαστίγιο τοῦ θείου φόβου καὶ τῆς ἀδιαλείπτου προσευχῆς, τὴν ἀνάγκασα νὰ ὁμολογήσῃ ὅσα προανέφερα.

Μοῦ φαινόταν δὲ ὅτι ἔλεγε ἡ τυραννικὴ καὶ κακοῦργος: «Οἱ ἰδικοί μου σύντροφοι ἐνῷ βλέπουν νεκρούς, γελοῦν. Ἐνῷ παρίστανται στὴν προσευχή, εἶναι ἐξ ὁλοκλήρου πετρώδεις καὶ σκληροὶ καὶ σκοτεινοί. Ἐνῷ ἀντικρύζουν τὴν ἁγία Τράπεζα, μένουν ἀναίσθητοι. Ἐνῷ μεταλαμβάνουν ἀπὸ τὰ ἅγια Δῶρα, εἶναι σὰν νὰ ἐγεύθησαν ἁπλῶς ψωμί. Ἐγώ, ὅταν τοὺς βλέπω νὰ κατανύσσωνται, τοὺς καταγελῶ. Ἐγὼ ἔχω μάθει ἀπὸ τὸν πατέρα ποὺ μὲ ἐγέννησε, νὰ φονεύω ὅ,τι καλὸ γεννᾶται ἀπὸ τὴν ἀνδρεία τῆς ψυχῆς καὶ τὸν εὐσεβῆ πόθο. Ἐγὼ εἶμαι μητέρα τοῦ γέλωτος, ἐγὼ τροφὸς τοῦ ὕπνου, ἐγὼ φίλη του χορτασμοῦ. Ἐγώ, ὅταν ἐλέγχωμαι δὲν πονῶ. Ἐγὼ εἶμαι σφικτὰ ἀγκαλιασμένη μὲ τὴν ψευτοευλάβεια».

Κατάπληκτος δὲ ἐγὼ ἀπὸ τὰ λόγια αὐτῆς τῆς παράφρονος, ἐρωτοῦσα τὸ ὄνομα αὐτοῦ ποὺ τὴν ἐγέννησε. Καὶ ἐκείνη μοῦ ἀπήντησε:
«Ἐγὼ δὲν ἔχω μία μόνο γέννησι. Ἡ δὲ κυοφόρησίς μου εἶναι κάπως ποικίλη καὶ ἄστατη. Ἐμένα μὲ ἐνδυναμώνει ὁ χορτασμὸς τῆς κοιλίας. Ἐμένα μὲ αὔξησε ἡ πολυκαιρία. Ἐμένα μὲ ἔχει παγιώσει ἡ κακὴ συνήθεια· καὶ ὅποιος τὴν ἀπέκτησε, ποτὲ δὲν πρόκειται νὰ ἀπαλλαγῇ ἀπὸ ἐμένα. Ἐὰν μελετᾶς ἐπίμονα καὶ μὲ πολλὴ ἀγρυπνία τὴν αἰωνία Κρίσι, ἴσως μὲ κάνῃς νὰ χαλαρώσω ὀλίγο. Κοίταξε ἀπὸ ποιὰ αἰτία γεννῶμαι σ᾽ ἐσένα -δὲν ἔχω σὲ ὅλους τὴν ἴδια αἰτία-, καὶ ἀγωνίζου ἐναντίον τῆς μητέρας μου αὐτῆς. Νὰ προσεύχεσαι συχνὰ στοὺς τάφους, ζωγραφίζοντας ἀνεξίτηλα τὴν εἰκόνα τους στὴ καρδιά σου. Ἐὰν μάλιστα αὐτὴ δὲν ζωγραφισθῇ μὲ τὸν χρωστῆρα τῆς νηστείας, δὲν πρόκειται νὰ μὲ νικήσῃς εἰς τὸν αἰῶνα».
(από την Κλίμακα)

**π. Γ. Θ. https://www.youtube.com/user/KERMENI** *(βλέπε στις πληροφορίες: τα αρχεια μου -για δωρεάν κατέβασμα-, μπλογκ, φέισμπουκ).*